## † Τῇ τετάρτῃ Κυριακῇ τῶν Νηστειῶν· ψάλλομεν τὴν Ἀκολουθίαν τοῦ ὁσίου πατρὸς ἡμῶν Ἰωάννου, τοῦ συγγραφέως τῆς «Κλίμακος».




Ἡ τούτου μνήμη τελεῖται καθ' αὐτὸ τῇ τριακοστῇ Μαρτίου, ὅπου ἐτέθη καὶ ἡ βιογραφία αὐτοῦ· ἑορτάζεται δὲ καὶ σήμερον, ἴσως διότι ἀπ' ἀρχῆς τῆς ἁγίας Τεσσαρακοστῆς ἄρχεται συνήθως ἀναγινώσκεσθαι ἐν τοῖς ἱεροῖς μοναστηρίοις ἡ «Κλίμαξ» τῶν λόγων αὐτοῦ.

### Ἀπολυτίκιον Ἀναστάσιμον.

### Καὶ τοῦ Ὁσίου. Ἦχος πλ. δ΄.

Ταῖς τῶν δακρύων σου ῥοαῖς, τῆς ἐρήμου τὸ ἄγονον ἐγεώργησας, καὶ τοῖς ἐκ βάθους στεναγμοῖς, εἰς ἑκατὸν τοὺς πόνους ἐκαρποφόρησας· καὶ γέγονας φωστήρ, τῇ οἰκουμένῃ λάμπων τοῖς θαύμασιν, Ἰωάννη πατὴρ ἡμῶν ὅσιε· πρέσβευε Χριστῷ τῷ Θεῷ, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

### Ἕτερον. Ἦχος γ΄. Θείας πίστεως.

Θείαν κλίμακα ὑποστηρίξας, τὴν τῶν λόγων σου, μέθοδον πᾶσι, μοναστῶν ὑφηγητὴς ἀναδέδειξαι, ἐκ πρακτικῆς Ἰωάννη καθάρσεως, πρὸς θεωρίας ἀνάγων τὴν ἔλλαμψιν. Πάτερ ὅσιε, Χριστὸν τὸν Θεὸν ἱκέτευε, δωρήσασθαι ἡμῖν τὸ μέγα ἔλεος.

### Κοντάκιον.

### Ἦχος δ΄. Ἐπεφάνης σήμερον.

Ἐν τῷ ὕψει Κύριος, τῆς ἐγκρατείας, ἀληθῆ σε ἔθετο, ὥσπερ ἀστέρα ἀπλανῆ, φωταγωγοῦντα τὰ πέρατα, καθηγητὰ Ἰωάννη πατὴρ ἡμῶν.

### Ἕτερον. Ἦχος α΄. Χορὸς ἀγγελικός.

Καρποὺς ἀειθαλεῖς, ἐκ τῆς βίβλου προσφέρων, διδάγματα σοφέ, καθηδύνεις καρδίας, τῶν τούτοις μετὰ νήψεως, προσεχόντων μακάριε. Κλίμαξ γάρ ἐστι, ψυχὰς ἀνάγουσα γῆθεν, πρὸς οὐράνιον, καὶ διαμένουσαν δόξαν, τῶν πίστει τιμώντων σε.